μον ἐν τοῖς ἔθνεσιν τοῖς μακρὰν καὶ συριεῖ αὐτοῖς ἀπ᾽ ἄκρου τῆς
γῆς, καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται· 27 οὐ πεινάσουσιν οὐδὲ κοπιά- 27
σουσιν οὐδὲ νυστάξουσιν οὐδὲ κοιμηθήσονται οὐδὲ λύσουσιν τὰς
ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες
τῶν ὑποδημάτων αὐτῶν· 28 ὧν τὰ βέλη ὀξεῖά ἐστιν καὶ τὰ τόξα 28
αὐτῶν ἐντεταμένα, οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα
ἐλογίσθησαν, οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίς· 29 ὁρμῶσιν 29
ὡς λέοντες καὶ παρέστηκαν ὡς σκύμνος λέοντος· καὶ ἐπιλήμψεται
καὶ βοήσει ὡς θηρίον καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσται ὁ ῥυόμενος αὐτούς.
30 καὶ βοήσει δι᾽ αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς φωνὴ θαλάσσης 30
κυμαινούσης· καὶ ἐμβλέψονται εἰς τὴν γῆν, καὶ ἰδοὺ σκότος σκλη-
ρὸν ἐν τῇ ἀπορίᾳ αὐτῶν.
1 Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Οζιας ὁ βασιλεύς, εἶδον 6
τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης
ὁ οἶκος τῆς δόξης αὐτοῦ. 2 καὶ σεραφιν εἱστήκεισαν κύκλῳ αὐτοῦ, 2
ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνί, καὶ ταῖς μὲν δυσὶν
κατεκάλυπτον τὸ πρόσωπον καὶ ταῖς δυσὶν κατεκάλυπτον τοὺς πό-
δας καὶ ταῖς δυσὶν ἐπέταντο. 3 καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον 3
καὶ ἔλεγον Ἅγιος ἅγιος ἅγιος κύριος σαβαωθ, πλήρης πᾶσα ἡ γῆ
τῆς δόξης αὐτοῦ. 4 καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, ἧς 4
ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ. 5 καὶ εἶπα Ὦ τάλας ἐγώ, 5
ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων ἐν
μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ καὶ τὸν βασιλέα
κύριον σαβαωθ εἶδον τοῖς ὀφθαλμοῖς μου. 6 καὶ ἀπεστάλη πρός με 6
ἓν τῶν σεραφιν, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν
ἀπὸ τοῦ θυσιαστηρίου, 7 καὶ ἥψατο τοῦ στόματός μου καὶ εἶπεν 7
Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου καὶ ἀφελεῖ τὰς ἀνομίας σου
καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. 8 καὶ ἤκουσα τῆς φωνῆς κυρίου 8
λέγοντος Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦ-
τον; καὶ εἶπα Ἰδού εἰμι ἐγώ· ἀπόστειλόν με. 9 καὶ εἶπεν Πορεύθητι 9

26 αυτους B$L^p$C || 27 πειναϲ. ουδε > A† | ουδε λυσουσιν] ουδ ου μη λ. A† (cf. 8 12), ουδε μη λ. Q$S^c$, sed indicatiuum λυσουσιν retinent AQ$S^c$ (cf. seq. ουδε μη ραγωσιν) || 29 ορμωσιν] οργιωσιν BL | ως $1^0$ $2^0$] ωσει S ($1^0$ S†) | και $1^0$ > B† | παρεστηκαν BS*Q (cf. Thack. § 17, 3)] -στηκασιν A$S^c$L, -στησαν C393† | σκυμνοι BLC | βοησει BSLC] -σεται AQ: cf. 30 34 14 42 11 et Thack. p. 232 | αυτους BSLC] > AQ, in O sub ÷ || 30 βοησεται AQL: cf. 29 | εν $1^0$ > BLC | εις την γην] pr. εις τον ουρανον ανω και SL; + κατω L: sim. $S^s$ (quid S* post γην addiderit, non liquet); εις τον ουρανον ανω και κατω (sic) C†

6 2 σεραφ(ε)ιν SA†] -ιμ rel.: cf. 6 | και ταις $2^0$] ταις δε BLC || 3 εκεκραγεν B || 4 επλησθη] pr. εν BLC || 5 ειπα] -πον BLC || 6 σεραφ(ε)ιν B*$S^c$†] σαραφειν S*†, σαραφειμ Q†, σεραφ(ε)ιμ rel.: cf. 2 | χειρι] + αυτου L (in O sub ※) | ανθρακα] + πυρος A || 8 τινα] pr. τον L: ex α′ | ειμι εγω] tr. SC || 9 πορευου S†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/577 UNIVERSITÄT LEIPZIG